# TEZAUR LITURGIC

## 29 IUNIE

## HARALAMBOS BOUSIA

# PARACLISUL SF.APOSTOL PAVEL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 29 ΙΟΥΝΙΟΣ
# ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Οὐρανοβάμονι προσπέσωμεν Παύλῳ, τῷ θεοκήρυκι καὶ Κρήτης φωστῆρι, ταῖς ἀστραπαῖς φωτίσαντι τῶν λόγων αὐτοῦ, τῶν πανσόφων πέρατα νήσου Κρήτης βοῶντες· πρὸς Λιμένας ἴθυνον τοὺς Καλοὺς καὶ εὐδίους, οἰακοστρόφους ὥσπερ ἀπλανής, τοὺς ἐκζητοῦντας σὴν θείαν ἀντίληψιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἴθυνόν με, Παῦλε, πρὸς τὸν Καλὸν τὸν Λιμένα. Χ.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ἱλέωσαι Κύρον καὶ Θεόν, ἡμῖν τοῖς τιμῶσι, τοὺς ἀγῶνάς σου τοὺς στεῤῥούς, οὓς ἔτλης ὑπὲρ Εὐαγγελίου, τῆς ἐξαπλώσεως Παῦλε Ἀπόστολε.

Θεμέλιον πίστεως ἀῤῥαγές, Ἀπόστολε Παῦλε, τοὺς προστρέχοντάς σοι πιστῶς, ἐν πέτρᾳ στερέωσον τῇ θείᾳ, τῆς τοῦ Χριστοῦ ἀληθείας βοῶμέν σοι.

Ὑμνοῦντές σε δέσμιον τῆς Χριστοῦ, ἀγάπης ἐν Κρήτῃ, ἀφιχθέντα Παῦλε σοφέ, τὸ πρῶτον δεσμίους εὐσεβείας, ἡμᾶς ἀνάδειξον καὶ ἀγαθότητος.

*Θεοτοκίον.*

Νοσούντων ἰάτειρα ταχινή, ἁγνὴ Θεοτόκε, τοὺς ἐν κλίνῃ ἀσθενειῶν, κειμένους ἐπίσκεψαι ταχέως, καὶ πᾶσι δώρησαι ἄμφω ὑγείαν.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Οὐρανόφωτε Παῦλε ὁ εἰς Καλοὺς δέσμιος, ἀφιχθεὶς Λιμένας τῆς Κρήτης, καὶ τὴν Θεότητα, ἀνακηρύξας τρανῶς, τὴν Τρισυπόστατον πᾶσι, Ταύτης με ἀνάδειξον, δοῦλον πειθήνιον.

Νυσταγμὸν τὸν μὴ δόντα ἐν τοῖς αὐτοῦ ὄμμασι, Παῦλον τὸν φωστῆρα τοῦ κόσμου, ὕμνοις τιμήσωμεν, ἀναβοῶντες· Κρητῶν, ἐν ἐγρηγόρσει συντήρει, δήμους τοὺς γεραίροντας, σὲ ὕμνοις πρέπουσι.

Μιμητὴν τοῦ Κυρίου, τὸν ἀκραιφνῆ πέλοντα, Παῦλον τὸν κηρύξαντα πᾶσι, μέγα μυστήριον, τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, Χριστοῦ κενώσεως ὕμνοις, μέλψωμεν μιμούμενοι, τούτου τὰ σκάμματα.

*Θεοτοκίον.*

Εὐσυμπάθητε Μῆτερ Κρητῶν λαμπρὸν κλέϊσμα, Κεχαριτωμένη Μαρία, Παύλου ἐντεύξεσιν, ἐπιεικείας ἡμᾶς, μακροθυμίας ἀγάπης, δεῖξον καὶ χρηστότητος, βάθρα Σοὺς πρόσφυγας.

Διάσωσον, ἐκ τῶν ὀξέων ὀδόντων προβατοσχήμων, λύκων πάντας τοὺς εὐσεβεῖς ποιμὴν ὡς ἀνύστακτος, Ἀπόστολε Παῦλε πνευματοφόρε.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ὡς λύραν τερπνὴν καὶ σάλπιγγα μεγάφωνον, Χριστοῦ τοῦ Θεοῦ τῆς πίστεως τιμῶντές σε, εὐλαβῶς κραυγάζομεν· θεοῤῥῆμον Παῦλε Ἀπόστολε, τῆς εὐσεβείας δεῖξον μελουργούς, κιθάρας Κρητῶν χοροὺς ὑμνοῦντάς σε.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Παῦλε στόμα τῆς χάριτος, οἱ λελυτρωμένοι πανσόφοις λόγοις σου, ματαιότητος βοῶμέν σοι· ἴθυνον ἡμᾶς πρὸς βίον κρείττονα.

Ἀγνωσίας σκοτόμαιναν, σκέδασον κυκλοῦσαν ἡμᾶς Ἀπόστολε, τῆς θεογνωσίας ὄργανον, Παῦλε θεηγόρε παναρμόνιον.

Ὑφηγῆτορ θεόπνευστε, Παῦλε ἀληθείας καὶ ἀγαθότητος, χειραγώγησον πρὸς θέωσιν, Κρῆτας μεγαλύνοντας τοὺς πόνους σου.

*Θεοτοκίον.*

Λυπηρῶν ἀποδίωξον, τὴν ἀχλὺν Παρθένε Θεογεννήτρια, ἡ χαρὰν τὴν ἀδιάπτωτον, Ἰησοῦν Χριστὸν τῷ κόσμῳ τέξασα.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἔνδυσον ἡμᾶς, ἀφθαρσίας Παῦλε ἔνδυμα, τοὺς στολὴν ἀμπεχομένους ῥυπαράν, καὶ φθαρτὴν τῆς ἁμαρτίας καὶ φαυλότητος.

Παῦλε θησαυρέ, τῆς σοφίας καὶ τῆς γνώσεως, τοὺς ἀσόφως δαπανοῦντας τὸν βραχύ, βίον σόφισον καὶ ἴθυνον πρὸς θέωσιν.

Ῥήτωρ τῆς Χριστοῦ, ἀληθείας διαπρύσιε, Παῦλε Κρῆτας πρὸς σαγήνην θεϊκήν, ταῖς πρὸς Κύριον θερμαῖς πρεσβείαις ζώγρησον.

*Θεοτοκίον.*

Ὁ τοῦ Λυτρωτοῦ, θρόνος ἔμψυχος Παντάνασσα, τῆς ἀγάπης Βασιλέα καὶ Θεόν, ἐν καρδίαις ταῖς ἡμῶν σοφῶς ἐνθρόνισον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Συνέτριψας, τῶν εἰδώλων ξόανα, τῇ δυνάμει τῶν ῥημάτων σου Παῦλε, καὶ ἐγκατέστησας Εὐαγγελίου, τοῦ ἱεροῦ βάθρον ἀδιατάρακτον, τῇ οἰκουμένῃ νῦν πιστῶς, αἰτουμένῃ τὰς θείας πρεσβείαις σου.

Τῇ χάριτι, δαψιλῶς δοθείσῃ σοι, οὐρανόθεν Παῦλε ἴθυνον πάντας, πρὸς τοὺς Λιμένας Καλοὺς καὶ εὐδίους, τοὺς ποντουμένους ἐν βίου ταῖς θλίψεσι, καὶ τὴν ὁμήγυριν Κρητῶν, ἐξαιρέτως ἀεὶ τὴν τιμῶσάν σε.

Ὃν πρότερον, Παῦλε ἐν αἰνίγματι, καὶ σκιᾷ ἑώρας νῦν κατοπτεύεις, ἰδίαις κόραις σου καὶ ἱκετεύεις, σῶσαι τοῦ Τίτου ἐκγόνους ἐν πνεύματι, τοῦ εὐπειθοῦς σου συνεργοῦ, πρὸς Χριστοῦ ἀληθείας στερέωσιν.

*Θεοτοκίον.*

Νῦν δούλου Σου, πάσαις παραβάσεσι, νεκρωθέντα τῇ Σῇ χάριτι Μῆτερ, τοῦ Παντεπόπτου Χριστοῦ γλυκυτάτη, εὐλογημένη Παντάνασσα ζώωσον, καὶ ἴθυνον αὐτὸν καλῶς, πρὸς νομὴν τοῦ Υἱοῦ Σου τὴν ἄφθιτον.

Διάσωσον, ἐκ τῶν ὀξέων ὀδόντων προβατοσχήμων, λύκων πάντας τοὺς εὐσεβεῖς ποιμὴν ὡς ἀνύστακτος, Ἀπόστολε Παῦλε πνευματοφόρε.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων Σου.*

Εὐαγγελίου τὸν μύστην τῆς χάριτος, καὶ παιδευτὴν ἀληθείας θεόληπτον, ὑμνήσωμεν Παῦλον Ἀπόστολον, ἀναβοῶντες· ἡμᾶς παιδαγώγησον, ὀρθῶς καὶ ἴθυνον πρὸς τελειότητα.

Προκείμενον: *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.*

Στ.: *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν Αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.*

Εὐαγγέλιον, κατὰ Λουκᾶν (Κεφ. Ι', 16-21): *Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει...*

Δόξα: *Ταῖς τοῦ Ἀποστόλου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἀῤῥαγὲς θεμέλιον, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, Ἔθνη ἐστερέωσας, ἐν τῇ πίστει φθέγμασι, θεοσόφοις σου, Παῦλε Ἀπόστολε, Παρακλήτου σκεῦος, τιμαλφὲς καὶ ἠλευθέρωσας, ἐκ τῆς δουλώσεως, ἀγνωσίας Κρήτην ἦν δέσμιος, τὸ πρῶτον ἀφικνόμενος, εἰς Καλοὺς Λιμένας ἐγνώρισας, ὅθεν σε τιμῶντες, παθῶν τοὺς αἰχμαλώτους ζοφερῶν, ἀναβοῶμεν Ἀπόστολε· τάχος ἐλευθέρωσον.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Κῆρυξ Εὐαγγελίου καὶ διδάσκαλε θεῖε Χριστοῦ τῆς πίστεως, οὐρανοβᾶμον Παῦλε, αἱρετικῶν τῶν πλάνων, τὸν ἑσμὸν ἀπομάκρυνον, ἐκ τῶν Κρητῶν τῶν ὀρθά, τὰ δόγματα φρονούντων.

Ἅλατί σου νοστίμῳ τῶν πανσόφων ῥημάτων τὰ Ἔθνη ἤρτυσας, πνευματοφόρε Παῦλε, καὶ ηὔφρανας καρδίας, τῶν Κρητῶν ὧν οἱ ἔκγονοι, νῦν Ἐκκλησίας ἡμῶν, ὡς ἀπαρχὴν τιμῶμεν.

Λῦσον τῆς ἁμαρτίας τοὺς δεσμούς μου κραυγάζω ὁ πολυδύστηνος, ἱκέτης σου τρισμάκαρ, εἰς τοὺς Καλοὺς Λιμένας, Παῦλε θεῖε ὡς δέσμιος, ὁ ἀφιχθεὶς ἐκ φθορᾶς, ἵνα δεσμίους σώσῃς.

*Θεοτοκίον.*

Ὄρος Θεογεννῆτορ ὡς κατάσκιον πάντες Σὲ μεγαλύνοντες, καὶ Τράπεζαν καὶ Στάμνον, καὶ Πύλην φωτοφόρον, ἐκβοῶμεν· ἱλέωσαι, ἡμῖν τὸν Τόκον τὸν Σόν, Χριστὸν τὸν Ζωοδότην.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Νοσούντων πάντων, καὶ θλιβομένων προστάτην, ἐκδεχόμεθά Σε μάκαρ Παῦλε, θλίψεων ἐν βίῳ, γευσάμενον ποικίλων.

Λύτρωσαι Παῦλε, ἀπὸ παντοίας ἀνάγκης, τοὺς χοροὺς τῶν Κρητῶν τῶν ἐν πίστει, σοὶ καταφευγόντων, ἐν βίου τρικυμίαις.

Ἴθυνον τάχος, πρὸς σωτηρίας λιμένα, στιβαροῖς σου χερσὶ θεῖε Παῦλε, ἀπλανὲς ἰθῦντορ, τοῦ βίου ποντουμένων.

*Θεοτοκίον.*

Μὴ μὲ ἐάσῃς, ὡς ἐν θυέλλῃ καλάμην, τοῦ δολίου γενέσθαι Παρθένε, ἕρμαιον ἡ κόσμου, στηρίζουσα εὐχαῖς Σου.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἐνώπιον τυράννων, Ἐθνῶν καὶ Βασιλέων, τὸν τοῦ Κυρίου βαστάσαντα ὄνομα, τιμῶμεν Παῦλον ὡς πάντων ἡμῶν ὑπέρμαχον.

Ναμάτων θεοβρύτων, ὁ πλησθεὶς ὡς μέγας, χειμάῤῥους πίστεως Παῦλε Ἀπόστολε, ἡμῶν ψυχὰς τῆς ἀγάπης ῥοαῖς κατάρδευσον.

Ἀπόστολε Κυρίου, Παῦλε φύλαξ ἴσθι, Κρητῶν ἀεὶ σοῦ τιμώντων τὰ σκάμματα, ὑπὲρ Χριστοῦ ἀληθείας θεοειδέστατε.

*Θεοτοκίον.*

Χριστοῦ Ἁγία Μῆτερ, Κεχαριτωμένη, τῇ Σῇ λαμπρότητι νοῦν μου καταύγασον, τοῦ μεγαλύνοντος πόθῳ τὰ μεγαλεῖά Σου.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Παῦλε Ἀποστόλων ἡ κορωνίς, Τίτον ποιμενάρχην, καταστήσας θεοειδῆ, τῆς Γορτύνης Κρήτης, ἑδραίωσας τὴν πίστιν, Χριστοῦ ἐν νήσῳ ταύτη, τῇ νῦν τιμώσῃ σε.

Χάρις ἐπεφάνη ἡ τοῦ Θεοῦ, ἔφησθα ἀνθρώποις, ἡ σωτήριος θαυμαστέ, εὐλαβῶς δικαίως, παιδεύουσα βιῶσαι, ἡμᾶς τε καὶ σωφρόνως, Παῦλε Ἀπόστολε.

Χαίροις ὁ διδάσκαλος τῶν Ἐθνῶν, χαίροις ὁ ἰθῦντορ, τῶν ἐν σκότει πρὸς φῶς Χριστοῦ, χαίροις ὑποφήτης, ὁ θεῖος εὐσεβείας, καὶ κῆρυξ ἀληθείας, Παῦλε θειότατος.

Χαίροις ὁ τῆς Κρήτης φωταγωγός, Παῦλε φωτοφόρε, τοῦ Ἡλίου τοῦ νοητοῦ, ὁ τὸ φῶς ἁπλώσας, ἁπάσῃ οἰκουμένῃ, ταῖς ἀστραπαῖς σῶν λόγων, καὶ διδαγμάτων σου.

Χαίροις συζητήσεις ὁ τὰς μωράς, ἔρεις τε καὶ μάχας, φεύγειν πάσας τὰς νομικάς, νουθετῶν χορείαις, τῶν εὐσεβούντων Παῦλε, τῆς ἀληθείας στῦλε, φωτοειδέστατε.

Δέσμιος εἰς Κρήτην ὁ ἀφιχθείς, καὶ Καλοὺς Λιμένας, ἁγιάσας τοῖς σοῖς ποσί, τοῖς τιμίοις Παῦλε, δεσμούς με συγκρατοῦντας, μετὰ τῆς ἁμαρτίας, τάχος διάσπασον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τὸ Τρισάγιον. Τὰ συνήθη τροπάρια. Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Παῦλε, Χριστοκῆρυξ τῶν Ἐθνῶν, ὁ ἀρχιερέα Γορτύνης, ἐν Κρήτῃ σὸν συνεργόν, καταστήσας πρέσβευε, τῷ Παντοκράτορι, τῶν Κρητῶν τὴν ὁμήγυριν, ἐκ τοῦ μισοκάλου, τῶν βελῶν ἀείποτε,

τηρεῖν ἀλώβητον, καὶ στηρίζειν πάντας ἐν πίστει, τῇ ὑγιαινούσῃ ὡς Τίτῳ, ἐνουθέτεις γράμματι τῷ θείῳ σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

